Ἐπειδὴ δὲ Μωϋσέως ἐμνήσθημεν, καλὸν καὶ ἐκ τῶν 355
since and Moses we-have-mentioned (it-is)-good also from the(-things)
ἐκείνῳ συμβεβηκότων δεῖξαι τοῦ λόγου τὴν ἀλήθειαν.
to-that(-one) having-happened to-show of-the argument the truth
αὐτὸς γὰρ οὗτος ὁ μακάριος Μωϋσῆς τοσοῦτον ἀπέσχε
himself for this the blessed Moses so-far held-off
τοῦ τὴν προστασίαν ἁρπάσαι τῶν Ἰουδαίων, ὡς καὶ
from-the the leadership to-seize of-the Jews as even
διδομένην παραιτεῖσθαι, καὶ Θεοῦ κελεύοντος ἀνανεῦσαι
(when)-being-given to-decline(-it) and God commanding to-refuse
καὶ ἐπὶ τοσοῦτον, ὥστε καὶ παροξῦναι τὸν προστάττοντα.
even to so-far as even to-provoke the(-one) commanding
καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα, γενόμενος ἐπὶ τῆς
and not then only but also after these(-things) being in the
ἀρχῆς, ὑπὲρ τοῦ ταύτης ἀπαλλαγῆναι ἡδέως ἀπέθνησκεν.
office for the from-this to-be-freed gladly would-have-died
ἀπόκτεινον γάρ με φησὶν, εἰ οὕτω μοι μέλλεις ποιεῖν.
kill for me he-says if so to-me you-are-going to-do
Τί οὖν; ἐπειδὴ ἥμαρτεν ἐπὶ τοῦ ὕδατος, ἴσχυσαν αἱ 356
what then since he-sinned at the water did-avail the
συνεχεῖς αὗται παραιτήσεις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ,
continual these declinings to-plead for him
καὶ πεῖσαι τὸν Θεὸν δοῦναι συγγνώμην; καὶ πόθεν
and to-persuade — God to-give pardon and whence
ἄλλοθεν τῆς ἐπηγγελμένης ἀπεστερεῖτο γῆς; οὐδαμόθεν
else of-the promised was-he-deprived land from-nowhere

ἄλλοθεν, ὡς ἅπαντες ἴσμεν, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν
else as all we-know but than because-of the sin
ταύτην, δι' ἣν ὁ θαυμαστὸς ἐκεῖνος ἀνὴρ οὐκ
this on-account-of which the wonderful that man not
ἴσχυσε τῶν αὐτῶν τοῖς ἀρχομένοις τυχεῖν· ἀλλὰ μετὰ
was-able the same(-things) as-the governed to-obtain but after
τοὺς πολλοὺς ἄθλους καὶ τὰς ταλαιπωρίας, μετὰ τὴν
the many struggles and the hardships after the
πλάνην ἐκείνην τὴν ἄφατον καὶ τοὺς πολέμους καὶ τὰ
wandering that the unspeakable and the wars and the
τρόπαια, ἔξω τῆς γῆς ἀπέθνησκεν, ὑπὲρ ἧς τοσαῦτα
trophies outside the land he-died for which so-much
ἐμόχθησε· καὶ τὰ τοῦ πελάγους ὑπομείνας κακὰ, τῶν
he-toiled and the of-the sea having-endured evils of-the
τοῦ λιμένος οὐκ ἀπήλαυσεν ἀγαθῶν.
of-the harbor not he-enjoyed goods

357 Ὁρᾷς ὡς οὐ τοῖς ἁρπάζουσι μόνον, ἀλλ' οὐδὲ τοῖς
do-you-see that not for-the(-ones) seizing only but not-even for-the(-ones)
ἐκ τῆς ἑτέρων σπουδῆς ἐπὶ τοῦτο ἐρχομένοις, λείπεταί τις,
from the of-others zeal to this coming remains any
ἐν οἷς ἂν πταίσωσιν, ἀπολογία; Ὅπου γὰρ οἱ, τοῦ
in what(-things) — they-stumble defense where for the(-ones) —
Θεοῦ χειροτονοῦντος, παραιτησάμενοι πολλάκις, τοσαύτην
God appointing having-declined often so-great
ἔδωκαν δίκην, καὶ οὐδὲν ἴσχυσεν ἐξελέσθαι τοῦ κινδύνου
paid penalty and nothing was-able to-deliver from-the danger
τούτου οὔτε τὸν Ἀαρὼν, οὔτε τὸν Ἡλὶ, οὔτε τὸν μακάριον
this neither — Aaron nor — Eli nor the blessed
ἐκεῖνον ἄνδρα, τὸν ἅγιον, τὸν προφήτην, τὸν θαυμαστὸν,
that man the holy the prophet the wonderful
τὸν πρᾶον μάλιστα πάντων τῶν ἐπὶ γῆς, τὸν ὡς
the meek most of-all the(-men) on earth the(-one) as

φίλον λαλοῦντα τῷ Θεῷ· σχολῇ γε ἡμῖν, τοῖς
(a)-friend speaking — with-God hardly at-least for-us the(-ones)
τοσοῦτον ἀποδέουσι τῆς ἀρετῆς τῆς ἐκείνου, δυνήσεται
so-far falling-short of-the virtue the his will-it-be-able
πρὸς ἀπολογίαν ἀρκέσαι τὸ συνειδέναι ἑαυτοῖς μηδὲν ὑπὲρ
for defense to-suffice the to-be-conscious to-ourselves in-nothing for
ταύτης ἐσπουδακόσι τῆς ἀρχῆς· καὶ μάλιστα ὅτε πολλαὶ
this having-been-eager the office and especially when many
τούτων τῶν χειροτονιῶν οὐκ ἀπὸ τῆς θείας γίγνονται
of-these the ordinations not from the divine come
χάριτος, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων σπουδῆς.
grace but also from the of-the men zeal
Τὸν Ἰούδαν ὁ Θεὸς ἐξελέξατο, καὶ εἰς τὸν ἅγιον ἐκεῖνον 358
— Judas — God chose and into the holy that
κατέλεξε χορὸν, καὶ τὴν ἀποστολικὴν ἀξίαν μετὰ τῶν
enrolled(-him) choir and the apostolic dignity with the
λοιπῶν ἐνεχείρισεν· ἔδωκε δέ τι καὶ τῶν ἄλλων
rest entrusted(-to-him) gave and something also than-the others
πλέον αὐτῷ, τὴν τῶν χρημάτων οἰκονομίαν. Τί οὖν;
more to-him the of-the money stewardship what then
ἐπειδὴ τούτοις ἀμφοτέροις ἐναντίως ἐχρήσατο· καὶ ὃν
since these both contrarily he-used and whom
ἐπιστεύθη κηρύττειν, προὔδωκε· καὶ ἃ καλῶς
he-was-entrusted to-preach he-betrayed and which(-things) well
διοικεῖν ἐνεχειρίσθη, ταῦτα ἀνήλωσε κακῶς, ἐξέφυγε τὴν
to-administer he-was-entrusted-with these he-spent badly did-he-escape the
τιμωρίαν; διὰ αὐτὸ μὲν οὖν τοῦτο καὶ χαλεπωτέραν
punishment because-of it indeed then this(-thing) also harsher
ἑαυτῷ τὴν δίκην εἰργάσατο. καὶ μάλα γε εἰκότως.
for-himself the penalty he-made and very indeed reasonably

359 Οὐ γὰρ εἰς τὸ τῷ Θεῷ προσκρούειν δεῖ κατακεχρῆσθαι
not for for the — God to-offend one-must to-misuse
ταῖς παρὰ τοῦ Θεοῦ διδομέναις τιμαῖς, ἀλλ' εἰς τὸ μᾶλλον
the from — God given honors but for the more
ἀρέσκειν αὐτῷ.
to-please him
360 Ὁ δὲ, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο
the(-one) but since more he-has-been-honored because-of this
ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ·
claiming to-escape in what(-things) — to-be-punished it-be-needful
παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων
similar does as — if anyone also of-the unbelieving
Ἰουδαίων ἀκούσας τοῦ Χριστοῦ λέγοντος, ὅτι εἰ μὴ ἦλθον
Jews having-heard — Christ saying that if not I-had-come
καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ, εἰ
and had-spoken to-them sin not they-would-have-had and if
μὴ τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος
not the signs I-had-done among them which no-one other
ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον· ἐγκαλοίη τῷ Σωτῆρι
did sin not they-would-have-had should-accuse the Savior
καὶ Εὐεργέτῃ, λέγων· τί γὰρ ἦρχου καὶ ἐλάλεις; τί
and Benefactor saying why for did-you-come and speak why
δὲ ἐποίεις σημεῖα, ἵνα μειζόνως ἡμᾶς κολάσῃς;
and did-you-do signs that more-greatly us you-might-punish
361 Ἀλλὰ μανίας τὰ ῥήματα ταῦτα, καὶ τῆς ἐσχάτης
but of-madness the words these and of-the utmost
παραπληξίας. ὁ γὰρ ἰατρὸς οὐχ ἵνα σὲ κατακρίνῃ μᾶλλον,
derangement the for physician not that you he-might-condemn rather
ἦλθε θεραπεύσων, ἀλλ' ἵνα ἀπαλλάξῃ τῆς νόσου τέλεον·
came going-to-heal but that he-might-free(-you) from-the disease completely
σὺ δὲ σαυτὸν ἑκὼν ἀπεστέρησας τῶν ἐκείνου χειρῶν. δέχου
you but yourself willingly deprived of-the his hands receive

τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. Ὥσπερ γὰρ εἰ εἶξας
therefore harsher the punishment just-as for if you-had-yielded
τῇ θεραπείᾳ, καὶ τῶν προτέρων ἂν ἀπηλλάγης
to-the treatment also from-the former — you-would-have-been-freed
κακῶν· οὕτως ἐπειδὴ παραγινόμενον ἰδὼν ἔφυγες, οὐκ
evils so since (him)-coming having-seen you-fled no
ἔτι ἀπονίψασθαι ταῦτα δυνήσῃ· μὴ δυνάμενος δὲ,
longer to-wash-off these(-things) will-you-be-able not being-able and
καὶ τούτων δώσεις τὴν τιμωρίαν, καὶ ἀνθ' ὧν αὐτῷ
also for-these you-will-pay the penalty and for what(-things) for-him
ματαίαν τὴν σπουδὴν ἐποίησας, τόγε μέρος τὸ σόν.
vain the zeal you-made as-far-as-at-least part the your
Διὰ ταῦτα οὐκ ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ 362
because-of these(-things) not equal before the to-be-honored by — God
καὶ μετὰ τὰς τιμὰς τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ
and after the honors the torment we-endure but by-much
σφοδροτέραν ὕστερον. ὁ γὰρ μηδὲ τῷ παθεῖν εὖ
more-vehement later the(-one) for not-even by-the to-be-treated well
γενόμενος ἀγαθὸς, πικρότερον δίκαιος ἂν εἴη κολάζεσθαι.
having-become good more-bitterly just — would-be to-be-punished
Ἐπεὶ οὖν ἀσθενὴς ἡμῖν αὕτη ἡ ἀπολογία δέδεικται, καὶ 363
since then weak for-us this the defense has-been-shown and
οὐ μόνον οὐ σώζει τοὺς εἰς αὐτὴν καταφεύγοντας, ἀλλὰ
not only not saves the(-ones) to it fleeing but
καὶ προδίδωσι πλέον, ἑτέραν ἡμῖν ποριστέον ἀσφάλειαν.
even betrays(-them) more another for-us must-be-provided security
BASIL Ποίαν δὴ ταύτην; ὡς ἔγωγε οὐδὲ ἐν ἐμαυτῷ 364
of-what-sort indeed this since I-at-least not-even in myself
δύναμαι εἶναι νῦν· οὕτω με ἔμφοβον καὶ ἔντρομον τοῖς
am-able to-be now so me fearful and trembling by-the
ῥήμασι κατέστησας τούτοις.
words you-have-made these

Being forced is no defense. Those who ordain the unworthy share the penalty, and the one ordained pays more, since he knew himself. No one unskilled would build a house or treat the sick, however pressed; still less should one take up souls unexamined. The church is Christ's body, and its keeper must guard its health and beauty as trainers guard an athlete.

365 Μὴ, δέομαι, ἔφην, καὶ ἀντιβολῶ, μὴ τοσοῦτον καταβάλῃς
don't I-beg I-said and I-entreat don't so-much cast-down
σαυτόν. Ἔστι γὰρ, ἔστιν ἀσφάλεια. τοῖς μὲν ἀσθενέσιν
yourself there-is for there-is (a)-security for-the indeed weak
ἡμῖν, τὸ μηδέποτε ἐμπεσεῖν· ὑμῖν δὲ τοῖς ἰσχυροῖς, τὸ τὰς
us the never to-fall-in for-you but the strong the the
ἐλπίδας τῆς σωτηρίας εἰς ἕτερον μὲν ἀνηρτῆσθαι μηδὲν,
hopes of-the salvation on another indeed to-have-been-hung nothing
μετὰ δὲ τὴν τοῦ Θεοῦ χάριν εἰς τὸ μηδὲν ἀνάξιον πράττειν
after but the — of-God grace on the nothing unworthy to-do
τῆς δωρεᾶς ταύτης καὶ τοῦ δεδωκότος αὐτὴν Θεοῦ.
of-the gift this and — having-given it of-God
366 Μεγίστης μὲν γὰρ ἂν εἶεν κολάσεως ἄξιοι, οἱ μετὰ
of-the-greatest indeed for — would-be punishment worthy the(-ones) after
τὸ δι' οἰκείας σπουδῆς ταύτης ἐπιτυχεῖν τῆς ἀρχῆς,
the through own zeal this to-obtain the office
ἢ διὰ ῥαθυμίαν ἢ διὰ πονηρίαν ἢ καὶ δι' ἀπειρίαν
either through slackness or through wickedness or even through inexperience
κακῶς κεχρημένοι τῷ πράγματι· οὐ μὴν διὰ τοῦτο
badly having-used the matter not indeed because-of this
τοῖς οὐκ ἐσπουδακόσι καταλέλειπταί τις συγγνώμη,
for-the(-ones) not having-been-eager is-left any pardon
ἀλλὰ καὶ οὗτοι πάσης ἀπολογίας ἐστέρηνται.
but even these of-every defense are-deprived

Δεῖ γὰρ, οἶμαι, κἂν μυρίοι καλῶσι καὶ καταναγκάζωσι, 367
it-is-needful for I-think even-if myriad call and compel(-him)
μὴ πρὸς ἐκείνους ὁρᾶν· ἀλλὰ πρότερον τὴν ἑαυτοῦ
not to those to-look but first the his-own
βασανίσαντα ψυχὴν, καὶ πάντα διερευνησάμενον ἀκριβῶς,
having-tested soul and all(-things) having-searched-out precisely
οὕτως εἶξαι τοῖς βιαζομένοις.
so to-yield to-the(-ones) forcing(-him)
Νῦν δὲ οἰκίαν μὲν οἰκοδομήσασθαι οὐδεὶς ἂν ὑποσχέσθαι 368
now but (a)-house indeed to-build no-one — to-undertake
τολμήσειε τῶν οὐκ ὄντων οἰκοδομικῶν· οὐδὲ σωμάτων
would-dare of-the(-ones) not being builders nor bodies
ἅψασθαι νενοσηκότων ἐπιχειρήσειεν ἄν τις τῶν
to-touch diseased would-undertake — anyone of-the(-ones)
ἰατρεύειν οὐκ εἰδότων· ἀλλὰ κἂν πολλοὶ οἱ πρὸς
to-heal not knowing(-how) but even-if many the(-ones) by
βίαν ὠθοῦντες ὦσιν, παραιτήσεται, καὶ οὐκ ἐρυθριάσει
force pushing(-him) be he-will-decline and not will-blush-at
τὴν ἄγνοιαν. Ψυχῶν δὲ ἐπιμέλειαν μέλλων ἐμπιστεύεσθαι
the ignorance of-souls but (the)-care about-to be-entrusted-with
τοσούτων, οὐκ ἐξετάσει πρότερον ἑαυτόν· ἀλλὰ κἂν
so-many not will-be-examine first himself but even-if
ἁπάντων ἀπειρότατος ᾖ, δέξεται τὴν διακονίαν, ἐπειδὴ
of-all most-inexperienced he-be he-will-accept the ministry since
ὁ δεῖνα κελεύει, καὶ ὁ δεῖνα βιάζεται, καὶ ἵνα μὴ
the so-and-so bids and the so-and-so forces(-him) and that not
προσκρούσῃ τῷ δεῖνι;
he-offend the so-and-so
Καὶ πῶς οὐκ εἰς προῦπτον ἑαυτὸν μετ' ἐκείνων ἐμβαλεῖ 369
and how not into foreseen himself with those will-he-cast
κακόν; ἐξὸν γὰρ αὐτῷ σώζεσθαι καθ' ἑαυτὸν, καὶ
evil it-being-possible for for-him to-be-saved by himself also

ἑτέρους προσαπόλλυσι μεθ' ἑαυτοῦ. Πόθεν γάρ ἐστιν
others he-destroys-besides with himself whence for is-it-possible
ἐλπίσαι σωτηρίαν; πόθεν συγγνώμης τυχεῖν; τίνες ἡμᾶς
to-hope-for salvation whence pardon to-obtain who us
ἐξαιτήσονται τότε; οἱ βιαζόμενοι νῦν ἴσως καὶ πρὸς
will-beg-off then the(-ones) forcing(-us) now perhaps and to
ἀνάγκην ἕλκοντες; αὐτοὺς δὲ τούτους τίς κατ' ἐκεῖνον
necessity dragging(-us) themselves but these who at that
διασώσει τὸν καιρόν; καὶ γὰρ καὶ αὐτοὶ προσδέονται
will-save the time and for also themselves need-besides
ἑτέρων, ἵνα διαφύγωσι τὸ πῦρ.
others that they-may-escape the fire

370 Ὅτι δὲ σὲ οὐ δεδιττόμενος ταῦτα λέγω νῦν, ἀλλ' ὡς
that and you not frightening these(-things) I-say now but as
ἔχει τὸ πρᾶγμα ἀληθείας, ἄκουε τί τῷ μαθητῇ φησιν
holds the matter of-truth hear what to-the disciple says
ὁ μακάριος Παῦλος Τιμοθέῳ, τῷ γνησίῳ τέκνῳ καὶ
the blessed Paul to-Timothy the genuine child and
ἀγαπητῷ· Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει
beloved hands quickly on-no-one lay nor share
ἁμαρτίαις ἀλλοτρίαις.
in-sins of-others

371 Εἶδες ὅσης τοὺς μέλλοντας ἡμᾶς ἐπὶ τοῦτο
did-you-see from-how-great the(-ones) about-to us to this
παράγειν, οὐ μέμψεως μόνον, ἀλλὰ καὶ τιμωρίας,
to-bring-forward not blame only but also punishment
τόγε ἡμέτερον ἀπηλλάξαμεν μέρος;
as-far-as-at-least our we-freed part

372 Ὥσπερ γὰρ τοῖς αἱρεθεῖσιν οὐκ αὔταρκες πρὸς
just-as for for-the(-ones) chosen not (it-is)-sufficient for
ἀπολογίαν, τὸ λέγειν, οὐκ αὐτόκλητος ἦλθον, οὐδὲ προειδὼς
defense the to-say not self-called I-came nor foreseeing(-it)

οὐκ ἀπέφυγον· οὕτως οὐδὲ τοὺς χειροτονοῦντας ὠφελῆσαί
not did-I-flee so not-even the(-ones) ordaining to-benefit
τι δύναται, εἰ λέγοιεν τὸν χειροτονηθέντα ἀγνοεῖν.
anything can-it if they-should-say the(-one) ordained to-not-know
ἀλλὰ διὰ τοῦτο καὶ μεῖζον τὸ ἔγκλημα γίνεται, ὅτι ὃν 373
but because-of this even greater the charge becomes that whom
ἠγνόουν παρήγαγον· καὶ ἡ δοκοῦσα εἶναι ἀπολογία
they-did-not-know they-brought-forward and the seeming to-be defense
αὔξει τὴν κατηγορίαν.
increases the accusation
Πῶς γὰρ οὐκ ἄτοπον, ἀνδράποδον μὲν πρίασθαι 374
how for not absurd (a)-slave indeed to-buy
βουλομένους καὶ ἰατροῖς ἐπιδεικνύναι, καὶ τῆς πράσεως
wishing both to-physicians to-show(-him) and of-the sale
ἐγγυητὰς ἀπαιτεῖν, καὶ γειτόνων πυνθάνεσθαι, καὶ μετὰ
guarantors to-demand and of-neighbors to-inquire and after
ταῦτα πάντα μηδέπω θαῤῥεῖν, ἀλλὰ καὶ χρόνον πολὺν
these(-things) all not-yet to-be-confident but even time much
πρὸς δοκιμασίαν αἰτεῖν· εἰς δὲ τοσαύτην λειτουργίαν
for testing to-ask into but so-great (a)-ministry
μέλλοντάς τινα ἐγγράφειν, ἁπλῶς καὶ ὡς ἔτυχεν, ἂν
going someone to-enroll simply and as it-happened if
τῷ δεῖνι δόξῃ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἑτέρων
to-the so-and-so it-seem for favor or for hatred of-others
μαρτυρῆσαι, ἐγκρίνειν, μηδεμίαν ποιουμένους ἑτέραν
to-testify to-admit(-him) no making other
ἐξέτασιν;
examination
τίς οὖν ἡμᾶς ἐξαιτήσεται τότε, τῶν ὀφειλόντων 375
who then us will-beg-off then (when)-the(-ones) owing
προστῆναι καὶ αὐτῶν προστατῶν δεομένων;
to-protect even themselves of-protectors needing

376 Δεῖ μὲν οὖν καὶ τὸν χειροτονεῖν μέλλοντα, πολλὴν
it-is-needful indeed then both the(-one) to-ordain about-to much
ποιεῖσθαι τὴν ἔρευναν· πολλῷ δὲ πλείονα τούτου τὸν
to-make the search by-much but more than-he the(-one)
χειροτονούμενον.
being-ordained

377 Εἰ γὰρ καὶ κοινωνοὺς ἔχει τῆς κολάσεως τοὺς
if for even sharers he-has of-the punishment the(-ones)
ἑλομένους, ἐν οἷς ἂν ἁμάρτῃ· ἀλλ' ὅμως οὐδὲ
having-chosen(-him) in what(-things) — he-sin but nevertheless not-even
αὐτὸς ἀπήλλακται τῆς τιμωρίας, ἀλλὰ καὶ μείζονα δώσει·
himself is-freed from-the penalty but even greater will-pay

378 μόνον εἰ μὴ διά τινα ἀνθρωπίνην αἰτίαν, παρὰ τὸ
only if not because-of some human cause against the(-thing)
φανὲν αὐτοῖς εὔλογον ἔπραξαν οἱ ἑλόμενοι. Εἰ γὰρ
appearing to-them reasonable acted the(-ones) having-chosen(-him) if for
ἐν τούτῳ φωραθεῖεν, καὶ τὸν ἀνάξιον εἰδότες, διά
in this they-should-be-detected and the unworthy(-man) knowing because-of
τινα πρόφασιν αὐτὸν παρήγαγον· ἐξ ἴσης τὰ
some pretext him they-brought-forward from equal(-measure) the(-things)
τῶν κολαστηρίων αὐτοῖς, τάχα καὶ μείζονα τοῖς
of-the punishments (are)-for-them perhaps even greater for-the(-ones)
τὸν οὐκ ἐπιτήδειον καταστήσασιν. ὁ γὰρ τὴν ἐξουσίαν
the(-man) not suitable having-appointed the(-one) for the authority
παρασχὼν τῷ βουλομένῳ διαφθεῖραι τὴν ἐκκλησίαν,
having-afforded to-the(-one) wishing to-ruin the church
αὐτὸς ἂν εἴη τῶν ὑπ' ἐκείνου τολμηθέντων αἴτιος.
himself — would-be of-the(-things) by him dared (the)-cause

379 Εἰ δὲ τούτων μὲν οὐδενὶ γένοιτο ὑπεύθυνος, ἀπὸ δὲ τῆς
if but of-these indeed for-none he-should-be accountable by but the
τῶν πολλῶν ὑπολήψεως ἠπατῆσθαι λέγοι· ἀτιμώρητος
of-the many supposition to-have-been-deceived he-should-say unpunished

μὲν οὐδὲ οὕτω μένει, ὀλίγῳ δὲ ἐλάττονα τοῦ
indeed not-even so does-he-remain by-(a)-little but less than-the(-one)
χειροτονηθέντος δίδωσι δίκην. Τί δήποτε; ὅτι τοὺς μὲν
ordained he-pays penalty why ever because the(-ones) indeed
ἑλομένους εἰκὸς ὑπὸ δόξης ψευδοῦς ἀπατηθέντας,
having-chosen(-him) (it-is)-likely by opinion false deceived
ἐπὶ τοῦτο ἐλθεῖν· ὁ δὲ αἱρεθεὶς οὐκ ἔτ' ἂν
to this to-have-come the(-one) but chosen no longer —
δύναιτο λέγειν, ὅτι ἠγνόουν ἐμαυτὸν, καθάπερ αὐτὸν
could say that I-did-not-know myself as him
ἕτεροι. Ὡς οὖν βαρύτερον μέλλοντα κολάζεσθαι τῶν
others as then more-heavily about-to be-punished than-the(-ones)
παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτῶν χρὴ
having-brought(-him)-forward so more-precisely than-they he-must
ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν, κἂν ἀγνοοῦντες ἕλκωσιν
make the of-himself testing and-if in-ignorance they-drag(-him)
ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι' ὧν
those approaching(-them) to-teach precisely the causes through which
ἠπατημένους παύσει, καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας
deceived he-will-stop(-them) and unworthy himself of-the testing
ἀποδείξας ἐκφεύξεται τοσούτων πραγμάτων ὄγκον.
having-shown he-will-escape of-so-great affairs (the)-weight
Διὰ τί γὰρ περὶ στρατείας καὶ ἐμπορίας καὶ γεωργίας 380
because-of what for about military-service and commerce and farming
καὶ τῶν ἄλλων τῶν βιωτικῶν βουλῆς προκειμένης,
and the other the worldly(-pursuits) deliberation being-set-before
οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης
neither the farmer would-choose — to-sail nor the soldier
γεωργεῖν, οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους
to-farm nor the helmsman to-serve-as-soldier even-if myriad

τις ἀπειλῇ θανάτους; ἢ δῆλον ὅτι τὸν ἐκ τῆς ἀπειρίας
anyone threaten deaths or (is-it)-clear that the from the inexperience
προορώμενοι κίνδυνον ἕκαστος.
foreseeing danger each

381 εἶτα ὅπου μὲν ζημία περὶ μικρῶν, τοσαύτῃ χρησόμεθα
then where indeed (the)-loss (is)-about small(-things) such we-shall-use
προνοίᾳ, καὶ οὐκ ἂν εἴξομεν τῇ τῶν βιαζομένων
forethought and not — we-would-yield to-the of-the(-ones) forcing(-us)
ἀνάγκῃ· ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ
compulsion where but the punishment (is)-eternal for-the(-ones) not
εἰδόσι μεταχειρίζειν ἱερωσύνην, ἁπλῶς καὶ ὡς ἔτυχε
knowing(-how) to-handle priesthood simply and as it-happened
τοσοῦτον ἀναδεξόμεθα κίνδυνον, τὴν ἑτέρων προβαλλόμενοι
so-great shall-we-take-up danger the of-others putting-forward
βίαν; ἀλλ᾽ οὐκ ἀνέξεται τότε ὁ ταῦτα κρίνων ἡμῖν.
force but not will-bear-with then the(-one) these(-things) judging us

382 Ἔδει μὲν γὰρ καὶ πολλῷ πλείω τῶν σαρκικῶν περὶ
it-was-needful indeed for even by-much more than-the fleshly(-things) about
τὰ πνευματικὰ τὴν ἀσφάλειαν ἐπιδείξασθαι· νῦν δὲ οὐδὲ
the spiritual(-things) the security to-display now but not-even
ἴσην εὑρισκόμεθα παρεχόμενοι.
equal are-we-found affording

383 Εἰπὲ γάρ μοι, εἴ τινα ὑποπτεύσαντες ἄνδρα εἶναι
tell for me if some suspecting (a)-man to-be
τεκτονικὸν οὐκ ὄντα τεκτονικὸν πρὸς τὴν ἐργασίαν
(a)-carpenter not being (a)-carpenter to the work
καλοῖμεν, ὁ δὲ ἕποιτο, εἶτα ἁψάμενος τῆς πρὸς τὴν
we-should-call he and should-follow then having-taken-hold of-the for the
οἰκοδομὴν παρεσκευασμένης ὕλης, ἀφανίζοι μὲν ξύλα,
building prepared material should-destroy indeed timbers
ἀφανίζοι δὲ λίθους, ἐργάζοιτο δὲ τὴν οἰκίαν οὕτως, ὡς
should-destroy and stones should-make and the house so as

εὐθέως καταπεσεῖν· ἆρα ἀρκέσει πρὸς ἀπολογίαν αὐτῷ,
at-once to-fall-down — will-it-suffice for defense to-him
τὸ παρ᾽ ἑτέρων ἠναγκάσθαι, καὶ μὴ αὐτεπάγγελτον
the by others to-have-been-compelled and not of-his-own-accord
ἥκειν; οὐδαμῶς· καὶ μάλα γε εἰκότως καὶ δικαίως.
to-have-come in-no-way and very indeed reasonably and justly
ἐχρῆν γὰρ, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν.
it-was-needful for even others calling(-him) to-leap-away
Εἶτα τῷ μὲν ξύλα ἀφανίζοντι καὶ λίθους, οὐδεμία 384
then for-the(-one) indeed timbers destroying and stones no
ἔσται καταφυγὴ πρὸς τὸ μὴ δοῦναι δίκην· ὁ
will-there-be refuge for the not to-pay penalty the(-one)
δὲ ψυχὰς ἀπολλὺς καὶ οἰκοδομῶν ἀμελῶς, τὴν ἑτέρων
but souls destroying and building carelessly the of-others
ἀνάγκην ἀποχρῆν αὐτῷ πρὸς τὸ διαφυγεῖν οἴεται;
compulsion to-suffice for-him for the to-escape does-he-think
Καὶ πῶς οὐ λίαν εὖηθες; οὔπω γὰρ προστίθημι, ὅτι 385
and how not very silly not-yet for do-I-add that
τὸν μὴ βουλόμενον οὐδεὶς ἀναγκάσαι δυνήσεται. ἀλλ᾽
the(-one) not wishing no-one to-compel will-be-able but
ἔστω μυρίαν αὐτὸν ὑπομεμενηκέναι βίαν, καὶ μηχανὰς
let(-it)-be myriad him to-have-undergone force and contrivances
πολυτρόπους, ὥστε ἐμπεσεῖν· τοῦτο οὖν αὐτὸν ἐξαιρήσεται
manifold so-as to-fall-in this then him will-deliver
τῆς κολάσεως; Μὴ, παρακαλῶ, μὴ ἐπὶ τοσοῦτον ἀπατῶμεν
from-the punishment no I-beseech not to so-far let-us-deceive
ἑαυτούς· μηδὲ ὑποκρινώμεθα ἀγνοεῖν, τὰ καὶ τοῖς
ourselves nor let-us-pretend to-be-ignorant-of the(-things) even to-the
ἄγαν παισὶ φανερά. οὐ γὰρ δήπου καὶ ἐπὶ τῶν εὐθυνῶν
very children clear not for surely even at the accountings
αὕτη τῆς ἀγνοίας ἡ προσποίησις ἡμᾶς ὠφελῆσαι δυνήσεται.
this of-the ignorance the pretense us to-benefit will-be-able

386 Οὐκ ἐσπούδασας αὐτὸς ταύτην δέξασθαι τὴν ἀρχὴν,
not were-you-eager yourself this to-accept the office
ἀσθένειαν σεαυτῷ συνειδώς; εὖ καὶ καλῶς. ἐχρῆν
weakness in-yourself being-conscious-of well and finely it-was-needful
οὖν μετὰ τῆς αὐτῆς προαιρέσεως, καὶ ἑτέρων καλούντων,
then with the same choice even others calling(-you)
ἀποπηδᾶν. ἢ ὅτε μὲν οὐδεὶς ἐκάλει, ἀσθενὴς σὺ καὶ
to-leap-away or when indeed no-one was-calling weak (were)-you and
οὐκ ἐπιτήδειος· ἐπεὶ δὲ εὑρέθησαν οἱ δώσοντες τὴν
not suitable when but were-found the(-ones) going-to-give the
τιμὴν, γέγονας ἐξαίφνης ἰσχυρός;
honor have-you-become suddenly strong
387 γέλως ταῦτα καὶ λῆροι, καὶ τῆς ἐσχάτης ἄξια τιμωρίας.
laughter these(-things) and nonsense and of-the utmost worthy punishment
Διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος παραινεῖ, μὴ πρότερον
because-of for this also the Lord advises not first
βάλλεσθαι θεμέλιον, τὸν βουλόμενον πύργον οἰκοδομεῖν,
to-lay (a)-foundation the(-one) wishing (a)-tower to-build
πρὶν ἢ τὴν οἰκείαν λογίσασθαι δύναμιν· ἵνα μὴ δῷ
before than the own to-reckon power that not he-give
τοῖς παριοῦσι μυρίας ἀφορμὰς χλευασίας τῆς εἰς
to-the(-ones) passing-by myriad occasions of-mockery of-the against
αὐτόν. ἀλλ' ἐκείνῳ μὲν μέχρι τοῦ γέλωτος ἡ ζημία·
him but for-that(-one) indeed as-far-as the laughter the loss
ἐνταῦθα δὲ ἡ κόλασις πῦρ ἄσβεστον, καὶ σκώληξ
here but the punishment (is)-fire unquenchable and worm
ἀτελεύτητος, καὶ βρυγμὸς ὀδόντων, καὶ σκότος ἐξώτερον,
unending and gnashing of-teeth and darkness outer
καὶ τὸ διχοτομηθῆναι, καὶ τὸ ταγῆναι μετὰ τῶν ὑποκριτῶν.
and the to-be-cut-in-two and the to-be-placed with the hypocrites

Ἀλλ᾽ οὐδὲν τούτων ἐθέλουσιν ἰδεῖν οἱ κατηγοροῦντες 388
but nothing of-these wish to-see the(-ones) accusing
ἡμῶν· ἦ γὰρ ἂν ἐπαύσαντο μεμφόμενοι τὸν οὐκ
us truly for — they-would-have-stopped blaming the(-one) not
ἐθέλοντα ἀπολέσθαι μάτην.
wishing to-perish in-vain
Οὐκ ἔστιν ἡμῖν ὑπὲρ οἰκονομίας πυροῦ ἢ κριθῶν, οὐδὲ βοῶν 389
not is for-us about (the)-stewardship of-wheat or barley nor of-oxen
καὶ προβάτων, οὐδὲ περὶ τοιούτων ἄλλων ἡ σκέψις ἡ
and sheep nor about such other(-things) the inquiry the
προκειμένη νῦν· ἀλλ᾽ ὑπὲρ αὐτοῦ τοῦ σώματος τοῦ Ἰησοῦ.
set-before(-us) now but about itself the body — of-Jesus
Ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ, κατὰ τὸν μακάριον 390
the for church — of-Christ according-to the blessed
Παῦλον, σῶμά ἐστι τοῦ Χριστοῦ· καὶ δεῖ τὸν τοῦτο
Paul body is — of-Christ and must the(-one) this
πεπιστευμένον, εἰς εὐεξίαν αὐτὸ πολλὴν καὶ κάλλος
entrusted-with into good-condition it much and beauty
ἀμήχανον ἐξασκεῖν, πανταχοῦ περισκοποῦντα, μή που
inconceivable to-train everywhere looking-around lest somewhere
σπῖλος, ἢ ῥυτὶς, ἤ τις ἄλλος μῶμος ἢ τοιοῦτος τὴν ὥραν καὶ
(a)-spot or wrinkle or some other blemish or such the bloom and
τὴν εὐπρέπειαν λυμαινόμενος ἐκείνην, καὶ τί γὰρ ἄλλ᾽ ἢ
the comeliness spoiling that and what for else than
τῆς ἐπικειμένης αὐτῷ κεφαλῆς, τῆς ἀκηράτου καὶ μακαρίας,
of-the lying-over it head the pure and blessed
ἄξιον αὐτὸ κατὰ δύναμιν τὴν ἀνθρωπείαν ἀποφαίνειν;
worthy it according-to power the human to-show
Εἰ γὰρ τοῖς περὶ τὴν ἀθλητικὴν εὐεξίαν ἐσπουδακόσι, 391
if for for-the(-ones) about the athletic good-condition having-been-eager
καὶ ἰατρῶν χρεία καὶ παιδοτριβῶν, καὶ διαίτης
both of-physicians (there-is)-need and of-trainers and of-diet

ἠκριβωμένης, καὶ ἀσκήσεως συνεχοῦς, καὶ μυρίας
precise and of-exercise continual and of-myriad
παρατηρήσεως ἑτέρας (καὶ γὰρ καὶ τὸ τυχὸν ἐν
observance other and for even the(-thing) chance among
αὐτοῖς παροφθὲν, πάντα ἀνέτρεψε καὶ κατέβαλεν·) οἱ
them overlooked all(-things) overturned and cast-down the(-ones)
τὸ σῶμα τοῦτο θεραπεύειν λαχόντες, τὸ τὴν ἄθλησιν
the body this to-tend having-obtained the(-body) the struggle
οὐ πρὸς σώματα, ἀλλὰ πρὸς τὰς ἀοράτους δυνάμεις ἔχον,
not against bodies but against the invisible powers having
πῶς αὐτὸ δυνήσονται φυλάττειν ἀκέραιον καὶ ὑγιὲς, μὴ
how it will-they-be-able to-keep intact and healthy not
πολὺ τὴν ἀνθρωπίνην ὑπερβαίνοντες ἀρετὴν, καὶ πᾶσαν
much the human surpassing virtue and every
ψυχῆς πρόσφορον ἐπιστάμενοι θεραπείαν;
of-soul suited knowing treatment

XVII · THE WORD AS THE ONLY REMEDY

The church's diseases have no drugs or surgery; the one cure is teaching by the word. The bishop must hold off every enemy, Greeks, Jews, Manichees, and fatalists, since one breach loses a city. He must keep the balance between those who reject the law and those who keep it, and between Sabellius and Arius, and must silence idle prying into God's judgments.

392 Ἢ ἀγνοεῖς, ὅτι καὶ πλείοσι τῆς ἡμετέρας σαρκὸς
or are-you-ignorant that both to-more than-the our flesh
καὶ νόσοις καὶ ἐπιβουλαῖς τοῦτο ὑπόκειται τὸ σῶμα, καὶ
both diseases and plots this is-subject the body and
θᾶττον αὐτοῦ φθείρεται, καὶ σχολαίτερον ὑγιαίνει;
faster than-it is-corrupted and more-slowly gets-well

Καὶ τοῖς μὲν ἐκεῖνα θεραπεύουσι τὰ σώματα καὶ 393
and for-the(-ones) indeed those treating the bodies both
φαρμάκων ἐξεύρηται ποικιλία, καὶ ὀργάνων διάφοροι
of-drugs has-been-discovered (a)-variety and of-instruments various
κατασκευαὶ, καὶ τροφαὶ τοῖς νοσοῦσι κατάλληλοι· καὶ
constructions and foods for-the sick suitable and
φύσις δὲ ἀέρων πολλάκις ἤρκεσε μόνη, πρὸς τὴν τοῦ
(the)-nature too of-airs often has-sufficed alone for the of-the(-one)
κάμνοντος ὑγίειαν· ἔστι δὲ ὅπου καὶ ὕπνος προσπεσὼν
ailing health there-is and where also sleep falling-on
εἰς καιρὸν, παντὸς πόνου ἀπήλλαξε τὸν ἰατρόν.
in season from-all labor has-freed the physician
Ἐνταῦθα δὲ οὐδὲν τούτων ἐπινοῆσαί ἐστιν· ἀλλὰ μία 394
here but none of-these to-devise is-it-possible but one
τὶς μετὰ τὰ ἔργα δέδοται μηχανὴ καὶ θεραπείας
some after the deeds has-been-given contrivance and of-treatment
ὁδὸς, ἡ διὰ τοῦ λόγου διδασκαλία. τοῦτο ὄργανον,
way the through the word teaching this (is-the)-instrument
τοῦτο τροφὴ, τοῦτο ἀέρων κρᾶσις ἀρίστη· τοῦτο ἀντὶ
this food this of-airs tempering best this instead-of
φαρμάκου, τοῦτο ἀντὶ πυρὸς, τοῦτο ἀντὶ σιδήρου· κἂν
drug this instead-of fire this instead-of iron and-if
καῦσαι δέῃ καὶ τεμεῖν, τούτῳ χρήσασθαι ἀνάγκη· κἂν
to-cauterize it-be-needful and to-cut this to-use (is)-necessity and-if
τοῦτο μηδὲν ἰσχύσῃ, πάντα οἴχεται τὰ λοιπά. τούτῳ
this in-nothing avail all(-things) are-gone the rest(-things) by-this
καὶ κειμένην ἐγείρομεν, καὶ φλεγμαίνουσαν καταστέλλομεν
both (her)-lying we-raise and (her)-inflamed we-calm
τὴν ψυχὴν, καὶ τὰ περιττὰ περικόπτομεν, καὶ τὰ
the soul and the superfluous(-things) we-cut-off and the(-things)

λείποντα πληροῦμεν, καὶ τὰ ἄλλα ἅπαντα ἐργαζόμεθα,
lacking we-fill and the other(-things) all we-work
ὅσα εἰς τὴν τῆς ψυχῆς ἡμῖν ὑγίειαν συντελεῖ.
as-many-as to the of-the soul for-us health contribute
395 Πρὸς μὲν γὰρ βίου κατάστασιν ἀρίστην, βίος ἕτερος
for indeed for of-life condition best (a)-life other
εἰς τὸν ἴσον ἂν ἐναγάγοι ζῆλον· ὅτ᾽ ἂν δὲ περὶ δόγματα
to the equal — could-lead zeal when — but about doctrines
νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐνταῦθα
be-sick the soul the spurious(-ones) much of-the word here
ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον,
the need not for the of-the own(-people) security only
ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους.
but also for the outside wars
396 Εἰ μὲν γὰρ ἔχοι τις τὴν μάχαιραν τοῦ πνεύματος
if indeed for should-have anyone the sword of-the spirit
καὶ θυρεὸν πίστεως τοσοῦτον, ὡς δύνασθαι θαυματουργεῖν,
and shield of-faith so-great as to-be-able to-work-wonders
καὶ διὰ τῶν τεραστίων τὰ τῶν ἀναισχύντων ἐμφράττειν
and through the prodigies the of-the shameless to-stop
στόματα, οὐδὲν ἂν δέοιτο τῆς ἀπὸ τοῦ λόγου
mouths in-nothing — he-would-need the from the word
βοηθείας· μᾶλλον δὲ οὐδὲ τότε ἄχρηστος ἡ τούτου
help rather but not-even then (is)-useless the its
φύσις, ἀλλὰ καὶ λίαν ἀναγκαία.
nature but even very necessary
397 Καὶ γὰρ ὁ μακάριος Παῦλος αὐτὸν μετεχείρισε, καίτοι
and for the blessed Paul it handled and-yet
γε ἀπὸ τῶν σημείων πανταχοῦ θαυμαζόμενος. Καὶ
at-least from the signs everywhere being-admired and
ἕτερός τις τῶν ἀπ᾽ ἐκείνου τοῦ χοροῦ, παραινεῖ ταύτης
another some of-the(-ones) from that the choir exhorts this

ἐπιμελεῖσθαι τῆς δυνάμεως, λέγων· Ἕτοιμοι πρὸς ἀπολογίαν
to-care-for the power saying (be)-ready for defense
παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν
to-everyone the(-one) asking you (an)-account about the in you
ἐλπίδος. Καὶ πάντες δὲ ὁμοῦ τότε δι᾽ οὐδὲν ἕτερον τοῖς
hope and all too together then for nothing other to-the(-men)
περὶ Στέφανον τὴν τῶν χηρῶν ἐπέτρεψαν οἰκονομίαν, ἀλλ᾽
about Stephen the of-the widows entrusted stewardship but
ἢ ἵνα αὐτοὶ τῇ τοῦ λόγου σχολάζωσι διακονίᾳ.
than that themselves to-the of-the word they-might-have-leisure ministry
Πλὴν οὐ παραπλησίως αὐτὸν ἐπιζητήσομεν, τὴν ἀπὸ 398
except not similarly it we-shall-seek the from
τῶν σημείων ἔχοντες ἰσχύν. εἰ δὲ τῆς μὲν δυνάμεως
the signs having power if but of-the indeed power
ἐκείνης οὐδὲ ἴχνος ὑπολέλειπται, πολλοὶ δὲ πανταχόθεν
that not-even (a)-trace is-left many and from-every-side
ἐφεστήκασιν οἱ πολέμιοι καὶ συνεχεῖς· τούτῳ λοιπὸν ἡμᾶς
stand-over(-us) the enemies and continual with-this henceforth (for)-us
ἀνάγκη φράττεσθαι, καὶ ἵνα μὴ βαλλώμεθα τοῖς τῶν
(it-is)-necessity to-be-fenced both that not we-be-struck by-the of-the
ἐχθρῶν βέλεσι, καὶ ἵνα βάλλωμεν ἐκείνους.
enemies darts and that we-may-strike them
Διὸ πολλὴν χρὴ ποιεῖσθαι τὴν σπουδὴν, ὥστε τὸν 399
wherefore much it-is-needful to-make the zeal so-that the
λόγον τοῦ Χριστοῦ ἐν ἡμῖν ἐνοικεῖν πλουσίως. Οὐ γὰρ
word — of-Christ in us to-dwell richly not for
πρὸς ἓν ἡμῖν εἶδος μάχης ἡ παρασκευή· ἀλλὰ ποικίλος
for one for-us form of-battle (is)-the preparation but varied
οὗτος ὁ πόλεμος, καὶ ἐκ διαφόρων συγκροτούμενος τῶν
this the war and from different assembled the

ἐχθρῶν· οὔτε γὰρ ὅπλοις ἅπαντες χρῶνται τοῖς αὐτοῖς,
enemies neither for arms all use the same
οὔτε ἐνὶ προσβάλλειν ἡμῖν μεμελετήκασι τρόπῳ.
nor in-one to-attack us have-they-practiced manner
400 Καὶ δεῖ τὸν μέλλοντα τὴν πρὸς πάντας ἀναδέχεσθαι
and must the(-one) about-to the against all to-take-up
μάχην, τὰς ἁπάντων εἰδέναι τέχνας· καὶ τὸν αὐτὸν
battle the of-all to-know arts and the same(-man)
τοξότην τε εἶναι καὶ σφενδονήτην, καὶ ταξίαρχον καὶ
archer both to-be and slinger and brigadier and
λοχαγὸν, καὶ στρατιώτην καὶ στρατηγὸν, καὶ πεζὸν καὶ
captain and soldier and general and foot-soldier and
ἱππέα, καὶ ναυμάχην καὶ τειχομάχην.
horseman and sea-fighter and wall-fighter
401 Ἐπὶ μὲν γὰρ τῶν στρατιωτικῶν πολέμων, οἷον ἕκαστος
in-the-case-of indeed for the military wars such-as each
ἔργον ἀπολαβὼν, τούτῳ τοὺς ἐπιόντας ἀμύνεται· ἐνταῦθα
task having-received with-this the(-ones) attacking repels here
δὲ τοῦτο οὐκ ἔστιν. ἀλλὰ ἂν μὴ πάσας ἐπιστάμενος ᾖ τῆς
but this not is but if not all knowing be of-the
τέχνης τὰς ἰδέας ὁ μέλλων νικᾶν, οἶδεν ὁ διάβολος καὶ
art the forms the(-one) about-to conquer knows the devil even
δι' ἑνὸς μέρους, ὅτ' ἂν ἠμελημένον τύχῃ, τοὺς πειρατὰς
through one part when — neglected it-happen the pirates
εἰσαγαγὼν τοὺς αὑτοῦ, διαρπάσαι τὰ πρόβατα· ἀλλ' οὐχ,
having-brought-in the his-own to-plunder the sheep but not
ὅτ' ἂν διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης τὸν ποιμένα
when — through all having-come the knowledge the shepherd
αἴσθηται, καὶ τὰς ἐπιβουλὰς αὐτοῦ καλῶς ἐπιστάμενον.
he-perceive and the plots his well knowing

Διὸ χρὴ καλῶς ἐξ ὅλων φράττεσθαι τῶν μερῶν. 402
wherefore it-is-needful well on all to-be-fenced the parts
καὶ γὰρ πόλις ἕως μὲν ἂν πανταχόθεν περιβεβλημένη
and for (a)-city as-long-as indeed — from-every-side walled-around
τυγχάνῃ, καταγελᾷ τῶν πολιορκούντων αὐτὴν, ἐν
it-happen laughs-at the(-ones) besieging it in
ἀσφαλείᾳ μένουσα πολλῇ· ἐὰν δὲ πυλίδος μόνον τις
security remaining much if but of-(a)-postern only anyone
μέτρον διακόψῃ τὸ τεῖχος, οὐδὲν αὐτῇ λοιπὸν ὄφελος
(the)-measure cut-through the wall nothing to-it henceforth (the)-profit
τοῦ περιβόλου γίνεται, καίτοι γε τοῦ λοιποῦ παντὸς
of-the circuit-wall becomes and-yet at-least the rest all
ἀσφαλῶς ἑστηκότος. οὕτως οὖν καὶ ἡ τοῦ Θεοῦ πόλις·
securely standing so then also the — of-God city
ὅτ' ἂν μὲν αὐτὴν πανταχόθεν ἀντὶ τείχους ἡ τοῦ
when — indeed it from-every-side instead-of (a)-wall the of-the
ποιμένος ἀγχίνοιά τε καὶ σύνεσις περιβάλλῃ, πάντα
shepherd shrewdness both and understanding surround all(-things)
εἰς αἰσχύνην καὶ γέλωτα τοῖς ἐχθροῖς τὰ μηχανήματα
into shame and laughter for-the enemies the devices
τελευτᾷ, καὶ μένουσιν οἱ κατοικοῦντες ἔνδον ἀσινεῖς·
end and remain the(-ones) dwelling within unharmed
ὅταν δέ τις αὐτὴν ἐκ μέρους καταλῦσαι δυνηθῇ, κἂν
when but anyone it in part to-destroy be-able even-if
μὴ πᾶσαν καταβάλῃ, διὰ τοῦ μέρους ἅπαν (ὡς εἰπεῖν)
not all he-cast-down through the part all as to-say
λυμαίνεται τὸ λοιπόν. Τί γὰρ, ὅτ' ἂν πρὸς Ἕλληνας μὲν
he-ruins the rest what for when — against Greeks indeed
ἀγωνίζηται καλῶς, συλῶσι δὲ αὐτὴν οἱ Ἰουδαῖοι; ἢ τούτων
he-contend well plunder but it the Jews or these
μὲν ἀμφοτέρων κρατῇ, ἁρπάζωσι δὲ Μανιχαῖοι; ἢ μετὰ τὸ
indeed both he-master seize(-it) but Manichees or after the

περιγενέσθαι καὶ τούτων, οἱ τὴν εἱμαρμένην εἰσάγοντες
to-overcome also these the(-ones) the fate introducing
ἔνδον ἑστῶτα τὰ πρόβατα σφάττωσι; Καὶ τί δεῖ πάσας
within standing the sheep slaughter and why must-one all
καταλέγειν τοῦ διαβόλου τὰς αἱρέσεις; ἃς ἂν μὴ πάσας
list of-the devil the heresies which if not all
ἀποκρούεσθαι καλῶς ὁ ποιμὴν εἰδείη, δύναιτ' ἂν καὶ
to-repel well the shepherd should-know could — even
διὰ μιᾶς τὰ πλείονα τῶν προβάτων καταφαγεῖν ὁ λύκος.
through one the more of-the sheep devour the wolf
403 Καὶ ἐπὶ μὲν τῶν στρατιωτῶν, ἀπὸ τῶν ἑστώτων καὶ
and in-the-case-of indeed the soldiers from the(-ones) standing and
μαχομένων καὶ τὴν νίκην ἔσεσθαι καὶ τὴν ἧτταν, προσδοκᾶν
fighting both the victory to-be and the defeat to-expect
ἀεὶ χρή· ἐνταῦθα δὲ πολὺ τοὐναντίον. πολλάκις γὰρ ἡ
always one-must here but much the-opposite often for the
πρὸς ἑτέρους μάχη, τοὺς οὐδὲ τὴν ἀρχὴν συμβαλόντας
against others battle the(-ones) not-even at-the beginning having-engaged
οὐδὲ πονέσαντας ὅλως, ἡσυχάζοντας καὶ καθημένους
nor having-toiled at-all being-quiet and sitting
νικῆσαι πεποίηκε· καὶ τῷ οἰκείῳ ξίφει περιπαρεὶς ὁ
to-conquer has-made and by-the own sword pierced the(-one)
μὴ πολλὴν περὶ ταῦτα τὴν ἐμπειρίαν ἔχων, καὶ τοῖς
not much about these(-things) the experience having both to-the
φίλοις καὶ τοῖς πολεμίοις καταγέλαστος γίνεται.
friends and to-the enemies laughable becomes
404 Οἷον (πειράσομαι γάρ σοι καὶ ἐπὶ παραδείγματος,
for-example I-will-try for to-you also by example
ὃ λέγω, ποιῆσαι φανερὸν) τὸν ὑπὸ τοῦ Θεοῦ δοθέντα
what I-say to-make clear the by — God given
τῷ Μωϋσῇ νόμον οἱ τὴν Οὐαλεντίνου καὶ Μαρκίωνος
— to-Moses law the(-ones) the of-Valentinus and of-Marcion

διαδεξάμενοι φρενοβλάβειαν, καὶ ὅσοι τὰ αὐτὰ
having-inherited derangement and as-many-as the same(-things)
νοσοῦσιν ἐκείνοις, τοῦ καταλόγου τῶν θείων ἐκβάλλουσι
are-sick-with as-those from-the list of-the divine cast-out
γραφῶν Ἰουδαῖοι δὲ αὐτὸν οὕτω τιμῶσιν, ὡς καὶ τοῦ
scriptures (the)-Jews but it so honor as even the
καιροῦ κωλύοντος φιλονεικεῖν ἅπαντα φυλάττειν, παρὰ
time preventing(-it) to-strive all(-things) to-keep against
τὸ τῷ Θεῷ δοκοῦν· ἡ δὲ ἐκκλησία τοῦ Θεοῦ, τὴν
the(-thing) — to-God seeming(-good) the but church — of-God the
ἀμφοτέρων ἀμετρίαν φυγοῦσα, μέσην ἐβάδισε, καὶ οὔτε
of-both immoderation having-fled middle(-way) has-walked and neither
ὑποκεῖσθαι αὐτοῦ τῷ ζυγῷ πείθεται, οὔτε διαβάλλειν
to-be-subject its to-the yoke is-persuaded nor to-slander
αὐτὸν ἀνέχεται, ἀλλὰ καὶ πεπαυμένον ἐπαινεῖ διὰ τὸ
it endures but even (though)-ceased praises(-it) because-of the
χρησιμεῦσαί ποτε εἰς καιρόν.
to-have-been-useful once for (its)-time
Δεῖ δὴ τὸν μέλλοντα πρὸς ἀμφοτέρους μάχεσθαι, 405
it-is-needful indeed the(-one) about-to against both to-fight
τὴν συμμετρίαν εἰδέναι ταύτην. ἄν τε γὰρ Ἰουδαίους
the proportion to-know this if both for (the)-Jews
διδάξαι βουλόμενος, ὡς οὐκ ἐν καιρῷ τῆς παλαιᾶς
to-teach wishing that not in season the old
ἔχονται νομοθεσίας, ἄρξηται κατηγορεῖν αὐτῆς ἀφειδῶς,
they-hold-to legislation he-begin to-accuse it unsparingly
ἔδωκε τοῖς διασύρειν βουλομένοις τῶν αἱρετικῶν
he-has-given to-the(-ones) to-disparage wishing of-the heretics
λαβὴν οὐ μικράν· ἄν τε τούτους ἐπιστομίσαι σπουδάζων,
(a)-handle not small if and these to-muzzle being-eager

ἀμέτρως αὐτὸν ἐπαίρῃ, καὶ ὡς ἀναγκαῖον ἐν τῷ παρόντι
immoderately it he-exalt and as necessary in the present
τυγχάνοντα θαυμάζῃ, τὰ τῶν Ἰουδαίων ἀνέῳξε στόματα.
happening-to-be he-admire the of-the Jews he-has-opened mouths
406 Πάλιν οἱ τὴν Σαβελλίου μαινόμενοι μανίαν, καὶ οἱ
again the(-ones) the of-Sabellius raving madness and the(-ones)
τὰ Ἀρείου λυττῶντες, ἐξ ἀμετρίας ἀμφότεροι τῆς
the(-things) of-Arius raging-with from immoderation both from-the
ὑγιοῦς ἐξέπεσαν πίστεως· καὶ τὸ μὲν ὄνομα Χριστιανῶν
healthy fell-out faith and the indeed name of-Christians
ἀμφοτέροις ἐπίκειται, εἰ δέ τις τὰ δόγματα ἐξετάσειε,
on-both lies if but anyone the doctrines should-examine
τοὺς μὲν οὐδὲν ἄμεινον Ἰουδαίων διακειμένους εὑρήσει,
the(-ones) indeed nothing better than-Jews disposed he-will-find
πλὴν ὅσον ὑπὲρ ὀνομάτων διαφέρονται μόνον, τοὺς
except as-far-as about names they-differ only the(-others)
δὲ πολλὴν τὴν ἐμφέρειαν πρὸς τὴν αἵρεσιν Παύλου τοῦ
but much the resemblance to the heresy of-Paul the
Σαμοσατέως ἔχοντας, ἀμφοτέρους δὲ τῆς ἀληθείας ἐκτός.
of-Samosata having both but of-the truth outside
407 Πολὺς οὖν κἀνταῦθα ὁ κίνδυνος, καὶ στενὴ καὶ τεθλιμμένη
great then here-too the danger and narrow and hemmed-in
ἡ ὁδὸς, ἡ ὑπὸ κρημνῶν ἀμφοτέρωθεν ἀπειλημμένη· καὶ
the road the by precipices on-both-sides cut-off and
δέος οὐ μικρὸν, μὴ τὸν ἕτερόν τις θέλων βαλεῖν, ὑπὸ
fear not small lest the one anyone wishing to-strike by
θατέρου πληγῇ. ἄν τε γὰρ μίαν τις εἴπῃ Θεότητα,
the-other he-be-struck if both for one anyone say Godhead
πρὸς τὴν ἑαυτοῦ παράνοιαν εὐθέως εἵλκυσε τὴν φωνὴν
to the his-own derangement at-once has-dragged the word
ὁ Σαβέλλιος· ἄν τε διέλῃ πάλιν, ἕτερον μὲν τὸν
— Sabellius if and he-divide again other indeed the

Πατέρα, ἕτερον δὲ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα δὲ τὸ
Father other but the Son and the Spirit too the
Ἅγιον ἕτερον λέγων, ἐφέστηκεν Ἄρειος, εἰς παραλλαγὴν
Holy other saying stands-over(-him) Arius to variation
οὐσίας ἕλκων τὴν ἐν τοῖς προσώποις διαφοράν. Δεῖ
of-substance dragging the in the persons difference it-is-needful
δὲ καὶ τὴν ἀσεβῆ σύγχυσιν ἐκείνου, καὶ τὴν μανιώδη
but both the impious confusion of-that(-one) and the mad
τούτου διαίρεσιν ἀποστρέφεσθαι καὶ φεύγειν, τὴν μὲν
of-this(-one) division to-turn-from and to-flee the indeed
θεότητα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος μίαν
godhead of-Father and of-Son and of-holy Spirit one
ὁμολογοῦντας, προστιθέντας δὲ τὰς τρεῖς ὑποστάσεις· οὕτω
confessing adding but the three hypostases so
γὰρ ἀποτειχίσαι δυνησόμεθα τὰς ἀμφοτέρων ἐφόδους.
for to-wall-off we-shall-be-able the of-both assaults
Πολλὰς δὲ καὶ ἑτέρας ἐνῆν σοι λέγειν συμπλοκάς· 408
many and also other it-was-possible to-you to-tell grapplings
πρὸς ἃς ἂν μὴ γενναίως τις καὶ ἀκριβῶς μάχηται,
against which if not nobly anyone and precisely fight
μυρία λαβὼν ἄπεισι τραύματα.
myriad having-received he-will-go-off wounds
Τί ἄν τις εἴποι τὰς τῶν οἰκείων ἐρεσχελίας; οὐ γάρ 409
why — anyone would-tell the of-the own(-people) frivolous-disputes not for
εἰσιν ἐλάττους αὗται τῶν ἔξωθεν προσβολῶν, ἀλλὰ καὶ
are less these than-the outside assaults but even
πλείονα τῷ διδάσκοντι παρέχουσιν ἱδρῶτα. Οἱ
more to-the(-one) teaching afford sweat the(-ones)
μὲν γὰρ ὑπὸ πολυπραγμοσύνης, ἁπλῶς καὶ εἰκῇ,
indeed for by meddlesomeness simply and at-random
περιεργάζεσθαι θέλουσιν, ἃ μήτε μαθόντάς
to-pry wish which(-things) neither (for-ones)-having-learned

ἐστι κερδᾶναι μήτε μαθεῖν δυνατόν. Ἕτεροι πάλιν
is-it-possible to-gain nor to-learn (is)-possible others again
τῶν τοῦ Θεοῦ κριμάτων εὐθύνας αὐτὸν ἀπαιτοῦσιν, καὶ
of-the — of-God judgments accounts him demand and
τὴν ἄβυσσον τὴν πολλὴν ἀναμετρεῖν βιάζονται· Τὰ γὰρ
the abyss the great to-measure force(-themselves) the for
κρίματά σου, φησὶν ἄβυσσος πολλή.
judgments your he-says (are-an)-abyss great

410 Καὶ πίστεως μὲν πέρι καὶ πολιτείας, ὀλίγους ἂν εὕροις
and of-faith indeed about and of-conduct few — you-would-find
σπουδάζοντας· τοὺς δὲ πλείους ταῦτα περιεργαζομένους
being-eager the but more these(-things) prying-into
καὶ ζητοῦντας, ἃ μήτε εὑρεῖν δυνατὸν καὶ τὸν Θεὸν
and seeking which neither to-find (is)-possible and — God
παροξύνει ζητούμενα. ὅτ' ἂν γὰρ, ἅπερ αὐτὸς ἡμᾶς οὐκ
provokes being-sought when — for what himself us not
ἠθέλησεν εἰδέναι, ταῦτα βιαζώμεθα μανθάνειν, οὔτε
wished to-know these(-things) we-force(-ourselves) to-learn neither
εἰσόμεθα (πῶς γὰρ, Θεοῦ μὴ βουλομένου;) καὶ τὸ
shall-we-know(-them) how for God not wishing and the
κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περιέσται μόνον.
to-be-in-danger to-us from the to-seek will-remain only

411 Ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ὅτ' ἄν τις
but nevertheless even these such being when — anyone
μετὰ αὐθεντίας ἐπιστομίζῃ τοὺς τὰ ἄπορα ταῦτα
with authority muzzle the(-ones) the insoluble these(-things)
ἐρευνῶντας, ἀπονοίας τε καὶ ἀμαθίας ἑαυτῷ προσετρίψατο
searching of-madness both and of-ignorance on-himself has-rubbed
δόξαν. Διὸ χρὴ κἀνταῦθα πολλῇ κεχρῆσθαι τῇ
(the)-reputation wherefore it-is-needful here-too much to-use the

συνέσει, ὡς καὶ ἀπάγειν τῶν ἀτόπων ἐρωτήσεων
understanding so-as both to-lead-away from-the absurd questions
τὸν προεστῶτα, καὶ τὰς εἰρημένας ἐκφεύγειν αἰτίας.
the(-one) presiding and the said to-escape charges
Πρὸς ἅπαντα δὲ ταῦτα ἕτερον μὲν οὐδὲν, ἡ δὲ 412
against all and these(-things) other indeed nothing the but
τοῦ λόγου βοήθεια δέδοται μόνη· κἄν τις ταύτης
of-the word help has-been-given alone and-if anyone of-this
ἀπεστερημένος ᾖ τῆς δυνάμεως, οὐδὲν ἄμεινον τῶν
deprived be the power nothing better than-the
χειμαζομένων πλοίων διηνεκῶς αἱ ψυχαὶ τῶν ὑπ᾽ αὐτῷ
storm-tossed ships continually the souls of-the under him
τεταγμένων ἀνδρῶν διακείσονται, τῶν ἀσθενεστέρων καὶ
set men will-be-disposed the weaker and
περιεργοτέρων λέγω. διὸ χρὴ τὸν ἱερέα πάντα
more-meddlesome I-mean wherefore it-is-needful the priest all(-things)
ποιεῖν ὑπὲρ τοῦ ταύτην κτήσασθαι τὴν ἰσχύν.
to-do for the this to-acquire the strength

XVIII · PAUL NO LAYMAN

Basil cites Paul's confession that he was unskilled in speech. John answers that many have hidden their idleness behind this word: Paul's miracles and his life surpassed all, and he was untrained only in style, not in knowledge. By argument he confounded the Jews of Damascus and the Hellenists, and by his letters, the wall of the churches, he benefits all believers still.

Τί οὖν ὁ Παῦλός (φησιν) οὐκ ἐσπούδασε ταύτην οἱ 413
what then — Paul he-says not was-eager this for-himself
κατορθωθῆναι τὴν ἀρετήν; οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ
to-be-achieved the virtue nor is-he-ashamed at the of-the

λόγου πενίᾳ, ἀλλὰ καὶ διαῤῥήδην ὁμολογεῖ, ἰδιώτην ἑαυτὸν
word poverty but even expressly confesses (a)-layman himself
εἶναι· καὶ ταῦτα Κορινθίοις ἐπιστέλλων, τοῖς ἀπὸ τοῦ
to-be and these(-things) to-Corinthians writing the(-ones) for the
λέγειν θαυμαζομένοις, καὶ μέγα ἐπὶ τούτῳ φρονοῦσι.
to-speak admired and great(-things) at this thinking
414 Τοῦτο γὰρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπώλεσε,
this for I-said this is which the many has-destroyed
καὶ ῥαθυμοτέρους πρὸς τὴν ἀληθῆ διδασκαλίαν ἐποίησε.
and more-slack toward the true teaching made
Μὴ γὰρ δυνηθέντες ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν
not for having-been-able precisely to-examine of-the apostolic
φρενῶν τὸ βάθος, μηδὲ συνεῖναι τὴν τῶν ῥημάτων
mind the depth nor to-understand the of-the words
διάνοιαν, διετέλεσαν τὸν ἅπαντα χρόνον νυστάζοντες
meaning they-have-continued the whole time dozing
καὶ χασμώμενοι, καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ
and yawning and the ignorance honoring this not
ἣν ὁ Παῦλός φησιν εἶναι ἀμαθὴς, ἀλλ' ἧς τοσοῦτον
which — Paul says to-be ignorant but from-which so-far
ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν
he-was-distant as not-even other any of-the under the heaven
τοῦτον ἀνθρώπων.
this men
415 Ἀλλ' οὗτος μὲν ἡμᾶς εἰς καιρὸν ὁ λόγος μενέτω· τέως
but this indeed us to (its)-time the discussion let-await meanwhile
δὲ ἐκεῖνό φημι· θῶμεν αὐτὸν εἶναι ἰδιώτην τοῦτο τὸ
but that I-say let-us-suppose him to-be (a)-layman (in)-this the
μέρος, ὅπερ οὗτοι βούλονται, τί οὖν τοῦτο πρὸς τοὺς
part as these wish what then (is)-this to the
ἄνδρας τοὺς νῦν;
men the now

Ἐκεῖνος μὲν γὰρ εἶχεν ἰσχὺν πολλῷ τοῦ λόγου μείζονα 416
that(-man) indeed for had power by-much than-the word greater
καὶ πλείονα δυναμένην κατορθοῦν· φαινόμενος γὰρ μόνον,
and more able to-accomplish appearing for only
καὶ σιγῶν, τοῖς δαίμοσιν ἦν φοβερὸς· οἱ δὲ νῦν πάντες
and being-silent to-the demons he-was fearsome they but now all
ὁμοῦ συνελθόντες μετὰ μυρίων εὐχῶν καὶ δακρύων οὐκ
together having-come-together with myriad prayers and tears not
ἂν δυνηθεῖεν, ὅσα ἴσχυσε τὰ σιμικίνθια Παύλου ποτέ.
— could-do as-much-as availed the aprons of-Paul once
Καὶ Παῦλος μὲν εὐχόμενος νεκροὺς ἀνίστη, καὶ ἄλλα 417
and Paul indeed praying (the)-dead raised and other(-things)
ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς νομισθῆναι παρὰ
wrought such as even (a)-god to-be-thought among
τοῖς ἔξωθεν· καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι
the(-ones) outside and before than from-the life to-depart
τούτου, καταξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ, καὶ
this he-was-deemed-worthy to-be-caught-up to (the)-third heaven and
ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἀνθρωπείαν ἀκοῦσαι
words to-share which not (is)-lawful (for)-human to-hear
φύσιν. Οἱ δὲ νῦν ὄντες. ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς
nature they but now being but nothing do-I-wish harsh
εἰπεῖν οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων
to-say nor heavy and for also these(-things) not trampling-on
αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων, πῶς οὐ φρίττουσιν
them I-say now but wondering how not they-shudder
ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς.
to-(a)-man so-great comparing themselves
Εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοιμεν 418
if for even the wonders having-let-go to the life we-should-come
τοῦ μακαρίου, καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ
of-the blessed(-man) and the conduct should-examine his

τὴν ἀγγελικὴν, καὶ ἐν ταύτῃ μᾶλλον, ἢ ἐν τοῖς
the angelic even in this rather than in the
σημείοις, ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ.
